καὶ ἀναίτιος τῶν σωμάτων ἡ ἡδονή, εἴγε λογισμῷ καὶ
νόμῳ τοῦ ποιήσαντος ἀκολουθοίη. οἱ δὲ τὴν ἡδονὴν πολ-
λάκις καρπούμενοι, τὸ ἀπ' αὐτῆς ἔργον ἀναγκαίως μισοῦ-
σι. καὶ παρεγγυῶσι παραγγελίαν ταῖς ἐπαγομέναις ἐφαλ-
λομέναις μαγγανείαις, τὰς συλλήψεις κλύειν τε καὶ ἐκ-
πίειν, καὶ τοὺς ἐν ὥρᾳ τόκους μὴ ἀναμένειν, ὡς τοῦτό γε μό-
νον δεινοῦ καὶ χαλεποῦ τυγχάνοντος, ἐχθροὶ τῆς φύσεως
ἐγηγερμένοι, μᾶλλον δὲ τοῦ ταύτην δημιουργήσαντος. καὶ μα-
νίαν κατὰ τοῦδε τοῦ παντὸς ἐκμαθόντες. καὶ διότι φύ-
σιν ἐνυπάρχει τοῖς σώμασιν ἡ πρὸς τὰς μίξεις ἐπιθυμία,
πῶς δ' ἂν ὑπέστη τῆς ἐν μέρει γε σωφροσύνης τὸ κάλλος
ἐν ἀνθρώποις, εἰ μὴ φύσει μὲν ἦν ἐρεθίζον, λογικῶς δὲ
κατεχόμενον; ποῦ δ' ἂν ἦν παρθενία παρὰ γυναιξίν,
ἢ παρ' ἀνδράσιν ἀπειρογαμία τὴν κοινὴν σωφροσύνην
παρευδοκιμοῦσα; εἰ μὴ λογισμὸς καὶ τὸ πρὸς ἁγνωσύνην
φίλτρον εἶχεν, ὅγε τοῖς φυσικοῖς προσπαλαῖον, νικηφό-
ρους ἀναδείξει τοὺς καλῶς τὴν ἔμφυτον ἐπιθυμίαν βιαζο-
μένους, οὐ πρὸς ὕβριν τῆς φύσεως, ἀλλὰ πρὸς ἄσκησιν
καρτερίας τε καὶ ἁγνωσύνης. οὕτω δὴ τροφαῖς τε καὶ
πόμασιν ἐνηδόμεθα, οὐ διὰ βεβλημένην ἡδονὴν καρπού-
μενοι· φυσικὴ γὰρ καὶ αὕτη, καὶ ὅμως νηστείαις διαγωνι-
ζόμεθα, οὐ κατὰ τῆς φύσεως μελετῶντες τὸ ὑπὲρ φύσιν,
ἀλλὰ καρτερίαν μὲν ἀσκούμενοι, διὰ δὲ ταπεινώσεως
τὸν θεὸν ἐξιλεούμενοι. οὐκ ἂν δὲ νηστείας ἄσκησιν μετήλ-
θομεν, πείνης ἐν τῷ σώματι μὴ ἐνούσης. πανταχοῦ τοί-
νυν ἡ ὄρεξις προξενεῖ καὶ τῆς συμμέτρου χρήσεως καὶ τῆς
κατὰ δύναμιν ἀποχῆς τὴν εὐδοκίμησιν. οὐ γὰρ τῶν κα-
τὰ φύσιν ἡ χρῆσις ποιεῖ τὴν ἁμαρτίαν, οἶνος γὰρ τὸ
μέτρον εἴη μὲν σωτήριον. μέθης δὲ τὸ κακὸν διὰ τῆς
ἀμετρίας εἰσάγεται. παραπλησίως δὲ καὶ τροφῆς τῆς
κατὰ φύσιν ἐμμέτρου ἀναίτιος ἡ χρῆσις. γαστριμαργ-

δὲ τῆς